Ἀρκεσίλαος διήκουσεν Ἱππονίκου τοῦ γεωμέτρου, ὃν καὶ ἔσκωψε, τὰ μὲν ἄλλα ῥάθυμον ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι.

Χῖός τις ὢν ἀειδὴς καὶ κίναιδος ὡς εἰς βαρὺν τὸν Ἀρκεσίλαον ἔφη·

Ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχειν;

Ὁ δὲ ὑπολαβὼν ἔφη·

Γύναι τί μοι τραχεῖα κ' οὐκ εἰθισμένως λαλεῖς;

Στωμύλου δ' ἀγεννοῦς αὐτῷ πράγματα παρέχοντος, ἔφη·

Ἀκόλασθ' ὁμιλεῖν γίγνεται δούλων τέκνα.

Ἄλλου δὲ πολλὰ φλυαροῦντος, οὐδὲ τίτθης χαλεπῆς τετυχηκέναι ἔφη. Πρός δέ τινα δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν εἶπε·

IV, 6, 32. Διήκουσε δὲ καὶ Ἱππονίκου τοῦ γεωμέτρου· ὃν καὶ ἔσκωψε τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι.

IV, 6, 34. Ἥμονος δέ τινος Χίου ἀειδοῦς ὄντος .... ἐπεὶ δὲ καὶ παρακίναιδος ὢν ὡς εἰς βαρὺν τὸν Ἀρκεσίλαον ἔφη·

(35) Ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχειν;

ὑπολαβὼν ἔφη·

Γύναι τί μοι τραχεῖα κοὐκ εἰθισμένως λαλεῖς;

στωμύλου δὲ ἀγεννοῦς πράγματα αὐτῷ παρέχοντος ἔφη·

Ἀκόλασθ' ὁμιλεῖν γίγνεται δούλων τέκνα.

ἄλλου δὲ πολλὰ φλυαροῦντος οὐδὲ τίτθης αὐτὸν χαλεπῆς τετυχηκέναι ἔφη· τισὶ δὲ οὐδὲ ἀπεκρίνετο. πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν, ἔφη·

1. Ἀρκεσίλαος ΔΠ: Διήκουσε δὲ καὶ Ε 2. τοῦ γεωμέτρου ΠΕ: λείπουσι Δ 3. ῥάθυμον ΔΠ: νωθρὸν Ε 8. Χῖός — κίναιδος ΔΠ: Ἥμονος — παρακίναιδος Ε Χῖός ἔγραψα: χῖος ΔΠ ἀειδὴς ἔγραψα: ἀηδὴς ΔΠ 12. ἔξεστ' Ε: ἔξεστιν ΔΠ σ' Ε: σε ΔΠ 14. ὁ δὲ ΔΠ: λείπουσιν Ε 15. τραχεῖα κοὐκ Ε: τραχέα καὶ οὐκ ΔΠ 18. δ' ΔΠ: δὲ Ε 18-19. αὐτῷ πράγματα ΔΠ: πράγματα αὐτῷ Ε 20. Ἀκόλασθ' Ε: ἀκόλαστα ΔΠ γίγνεται Ε: γίνεται Π: γίνηται Δ 23. τίτθης Π: τίτθης ἔφη Δ: τίτθης αὐτὸν Ε 24. ἔφη Π: λείπει Δ: ἔφη — ἀπεκρίνετο Ε δέ τινα ΔΠ: δὲ τὸν Ε 25. φιλόλογον Ε: φιλολόγον ΔΠ τι Ε: τί ΔΠ εἶπε ΔΠ: ἔφη Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ΥΓΑ της Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Λήθουσι γάρ τοι κἀνέμων διέξοδοι<br>θήλειαν ὄρνιν πλὴν ὅταν τόκος παρῇ. | Λήθουσι γάρ τοι κἀνέμων διέξοδοι<br>θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ. |
| Ἔστι δὲ ταῦτα Σοφοκλέους ἐξ Οἰνομάου. | ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου τοῦ Σοφοκλέους. |
| Πρός τινα πυθόμενον διὰ τί ἐκ μὲν τῶν ἄλλων μεταβαίνουσιν εἰς τὸν Ἐπικούρου, ἐκ δὲ Ἐπικουρείων οὐδέποτε, ἔφη· Ἐκ μὲν ἀνδρῶν γάλλοι γίνονται, ἐκ δὲ γάλλων ἄνδρες οὐ γίνονται. | IV, 6, 43. πρὸς τὸν πυθόμενον διὰ τί ἐκ μὲν τῶν ἄλλων μεταβαίνουσιν εἰς τὴν Ἐπικούρειον, ἐκ δὲ τῶν Ἐπικουρείων οὐδέποτε, ἔφη, « ἐκ μὲν γὰρ ἀνδρῶν γάλλοι γίνονται, ἐκ δὲ γάλλων ἄνδρες οὐ γίνονται. » |
| Βίωνα τὸν Βορυσθενίτην ἐρωτήσαντος Ἀντιγόνου<br>Τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; | IV, 7, 46. Βίων τὸ μὲν γένος ἦν Βορυσθενίτης, ὥντινων δὲ γονέων καὶ ἀφ' οἵων πραγμάτων ἧξεν ἐπὶ φιλοσοφίαν, αὐτὸς Ἀντιγόνῳ διασαφεῖ. ἐρομένου γὰρ αὐτὸν<br>Τίς πόθεν εἶς ἀνδρῶν; πόθι τοι πόλις ἠδὲ τοκῆες; |
| αἰσθόμενος, ὅτι προδιαβέβληται, φησὶ πρὸς αὐτόν· Ἐμοῦ μὲν ὁ πατὴρ ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος· ἐδήλου δὲ τὸν ταριχέμπορον· γένος Βορυσθενί- | αἰσθόμενος ὅτι προδιαβέβληται, φησὶ πρὸς αὐτόν· « ἐμοὶ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος — διεδήλου δὲ τὸν ταριχέμπορον — γένος Βορυσθενί- |

1. κἀνέμων Ε: καὶ ἀνέμων ΔΠ  5-6. σοφοκλέους ἐξ οἰνομάου ΔΠ: ἐκ τοῦ Οἰνομάου τοῦ Σοφοκλέους Ε  7. πρός τινα ΔΠ: πρὸς τὸν Ε  9. ἐπικούρου ΔΠ: Ἐπικούρειον Ε  δὲ ΔΠ: δὲ τῶν Ε  12. οὐ γίνονται ΠΕ: οὐδέποτε Δ  15-16. Βίωνα — ἀντιγόνου ΔΠ: Βίων — αὐτὸν Ε  15. Βίωνα Δ: Δίωνα Π  βορυσθενίτην Π: βορυσθεμίτην Δ  17. εἷς ΔΕ: ἧς Π  24-25. ἐμοῦ μὲν ὁ πατὴρ ΔΠ: ἐμοὶ ὁ πατὴρ μὲν Ε  26. ἀπομυσσόμενος ΠΕ: ἀπομυσσώμενος Δ  ἐδήλου ΔΠ: διεδήλου Ε  27. βορυσθενίτης ΠΕ: βορυσθεμίτης Δ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ. ... ΙΩΑΝΝΙΝΑ 2006

της, ἔχων οὐ πρόσωπον, ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ δεσπότου πικρίας σύμβολον· μήτηρ δὲ οἵαν ὁ τοιοῦτος ἂν γήμαι. Ἔπειτα ὁ πατὴρ παρατελωνησάμενός τι μεθ' ἡμῶν ἐπράθη. Καί με ἀγοράζει τις ῥήτωρ νέον ὄντα καὶ εὔχαριν, ὃς καὶ ἀποθνήσκων κατέλιπέ μοι πάντα. Κἀγώ, κατακαύσας αὐτοῦ τὰ συγγράμματα, Ἀθήναζε ἀφικόμην καὶ ἐφιλοσόφησα.

Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

Ταῦτ' ἐστὶ τὰ κατ' ἐμέ. Ὥστε παυσάσθωσαν οἱ ἱστοροῦντες αὐτά.

Οὗτος, ὀνειδιζόμενος ἐπὶ τῷ μὴ θηρᾶσαι μειράκιον, Οὐχ οἷόν τε, εἶπεν, ἁπαλὸν τυρὸν ἀγκίστρῳ ἐπισπᾶσθαι.

Ἐρωτηθεὶς εἰ γαμητέον, ἔφη· «Ἂν μὲν γήμῃς αἰσχράν, ἕξεις ποινήν· ἂν δὲ καλήν, ἕξεις κοινήν». Τὸ γῆρας ἔλεγεν ὅρμον εἶ-

της, ἔχων οὐ πρόσωπον, ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ δεσπότου πικρίας σύμβολον· μήτηρ δὲ οἵαν ὁ τοιοῦτος ἂν γήμαι, ἀπ' οἰκήματος. ἔπειτα ὁ πατὴρ παρατελωνησάμενός τι πανοίκιος ἐπράθη μεθ' ἡμῶν. καί με ἀγοράζει τις ῥήτωρ νεώτερον ὄντα καὶ εὔχαριν· ὃς καὶ ἀποθνήσκων κατέλιπέ μοι πάντα. (47) κἀγὼ κατακαύσας αὐτοῦ τὰ συγγράμματα καὶ πάντα συγχύσας Ἀθήναζε ἦλθον καὶ ἐφιλοσόφησα.

Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

ταῦτά ἐστι τὰ κατ' ἐμέ· ὥστε παυσάσθωσαν Περσαῖός τε καὶ Φιλωνίδης ἱστοροῦντες αὐτά· σκόπει δέ με ἐξ ἐμαυτοῦ.

IV. 7. 47. οἷον ὀνειδιζόμενος ἐπὶ τῷ μὴ θηρᾶσαι μειράκιον, «οὐχ οἷόν τε, εἶπεν, ἁπαλὸν τυρὸν ἀγκίστρῳ ἐπισπᾶσθαι.»

II. 7. 48. ἐρωτηθεὶς εἰ γῆμαι — ἀναφέρεται γὰρ καὶ εἰς τοῦτον — ἔφη, «ἐὰν μὲν γήμῃς αἰσχράν, ἕξεις ποινήν· ἂν δὲ καλήν, ἕξεις

4. δὲ ΔΕ: δ' Π 4-5. γήμαι ΔΠ: γήμαι, ἀπ' οἰκήματος Ε 6. μεθ' ἡμῶν ἐπράθη ΔΠ: πανοίκιος ἐπράθη μεθ' ἡμῶν Ε 7. τις Ε: τίς ΔΠ νέον ΔΠ: νεώτερον Ε 8. καὶ ΔΕ: λείπει Π 10-11. συγγράμματα ΔΠ: συγγράμματα καὶ πάντα συγχύσας Ε 11. ἀφικόμην ΔΠ: ἦλθον Ε 13. τοι ΠΕ: τῆς Δ 15. ταῦτ' ἐστὶ — ἐμέ Π: ταῦτά — ἐμέ Ε: λείπουσι Δ 16. οἱ ἱστοροῦντες αὐτά ΔΠ: Περσαῖός τε — ἐξ ἐμαυτοῦ Ε 21. οὗτος ΔΠ: οἷον Ε τῷ Ε: τὸ ΔΠ 22. οἷόν Ε: οἷον ΔΠ 25. γαμητέον ΔΠ: γῆμαι — τοῦτον Ε 26. ἂν Ε: ἐὰν ΔΠ

Ε.Υ.Α. της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ναι [τῶν] κακῶν· εἰς αὐτὸ γοῦν πάντα καταφεύγειν· τὴν δόξαν ἐτῶν μητέρα εἶναι· τὸ κάλλος ἀλλότριον ἀγαθόν· τὸν πλοῦτον νεῦρα πραγμάτων. Πρὸς τὸν τὰ χωρία κατεδηδοκότα Τὸν μὲν Ἀμφιάρεων ἡ γῆ, ἔφη, κατέπιε, σὺ δὲ τὴν γῆν.

κοινήν. » τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι τῶν κακῶν· εἰς αὐτὸ γοῦν πάντα καταφεύγειν. τὴν δόξαν ἐτῶν μητέρα εἶναι· τὸ κάλλος ἀλλότριον ἀγαθόν· τὸν πλοῦτον νεῦρα πραγμάτων. πρὸς τὸν τὰ χωρία κατεδηδοκότα, « τὸν μὲν Ἀμφιάραον, ἔφη, ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν. »

Κατεγίνωσκε τῶν κατακαιόντων μὲν τοὺς ἀνθρώπους ὡς ἀναισθήτους, παρακαιόντων δὲ ὡς αἰσθανομένοις.

IV, 7,48. κατεγίνωσκε δὲ καὶ τῶν τοὺς ἀνθρώπους κατακαόντων μὲν ὡς ἀναισθήτους, παρακαλούντων δὲ ὡς αἰσθανομένους.

Εὔκολον ἔφασκε τὴν εἰς Ἅδου ὁδόν· καταμηνύοντας γοῦν ἀπιέναι. Τὸν Ἀλκιβιάδην μεμφόμενος ἔλεγεν, ὡς νέος μὲν ὢν τοὺς ἄνδρας ἀπάγοι τῶν γυναικῶν, νεανίσκος δὲ γενόμενος τὰς γυναῖκας τῶν ἀνδρῶν. Ἐν Ῥόδῳ τὰ ῥητορικὰ διδάσκων καί τινων χλευαζόντων ὡς μὴ φιλοσοφοῦντα, Δικαίως, εἶπεν, ἄνδρες, παρ' ὑμῶν λοιδοροῦμαι· πυροὺς γὰρ κομίσας κριθὰς πωλῶ.

IV, 7,49. εὔκολον ἔφασκε τὴν εἰς ᾅδου ὁδόν· καταμηνύοντας γοῦν ἀπιέναι. τὸν Ἀλκιβιάδην μεμφόμενος ἔλεγεν ὡς νέος μὲν ὢν τοὺς ἄνδρας ἀπαγάγοι τῶν γυναικῶν, νεανίσκος δὲ γενόμενος τὰς γυναῖκας τῶν ἀνδρῶν. ἐν Ῥόδῳ τὰ ῥητορικὰ διασκούντων τῶν Ἀθηναίων τὰ φιλοσοφούμενα ἐδίδασκε· πρὸς οὖν τὸν αἰτιασάμενον ἔφη, « πυροὺς ἐκόμισα καὶ κριθὰς πιπράσκω; »

Πρὸς δ' ἀδολέσχην λιπαροῦντα αὐτὸν συλλαβέσθαι αὐτῷ Τὸ ἱκα-

IV, 7, 50. πρὸς τὸν ἀδολέσχην λιπαροῦντα αὐτῷ συλλαβέ-

1. τῶν Ε: λείπει ΔΠ αὐτὸ Ε: αὐτὸν ΔΠ 3. μητέρα εἶναι ΔΕ: εἶναι μητέρα Π 6-7. ἀμφιάρεων ΔΠ (πρβλ. Ἀμφιάρεω Π, 17,142): Ἀμφιάραον Ε 7. ἡ γῆ ἔφη ΔΠ: ἔφη ἡ γῆ Ε 10. τῶν ΔΠ: δὲ καὶ τῶν Ε 10-11. κατακαιόντων μὲν τοὺς ἀνθρώπους Π: κατακαιόντων μὲν τοὺς τῶν ἀνθρώπων νεκροὺς Δ: τοὺς ἀνθρώπους κατακαόντων Ε 12. παρακαιόντων ΔΠ: παρακαλούντων Ε 12-13. αἰσθανομένοις ΔΠ: αἰσθανομένους Ε 17-18. τοὺς ἄνδρας ἀπάγοι Δ: ἀπάγοι τοὺς ἄνδρας Π: τοὺς ἄνδρας ἀπαγάγοι Ε 21-25. διδάσκων—πωλῶ ΔΠ: διασκούντων—πιπράσκω Ε 23. ὑμῶν ἔγραψα: ἡμῶν ΔΠ 26. δ' ΔΠ: τὸν Ε 27. αὐτὸν συλλαβέσθαι αὐτῷ ΔΠ: αὐτῷ συλλαβέσθαι Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Ε.Π. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.ις. Δ. τ.ής Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

νόν σοι, φησί, ποιήσω, ἐὰν παρακλήτους πέμψῃς καὶ αὐτὸς μὴ ἔλθῃς. Πρὸς δὲ σμικρολόγον πλούσιον Οὐχ οὗτος, ἔφη, τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον· καὶ τῶν μὲν ὑπαρχόντων ὡς ἰδίων ἐπιμελεῖσθαι, ὡς δ' ἀλλοτρίων φείδεσθαι καὶ μηδὲν ὠφελεῖσθαι.

σθαι, «τὸ ἱκανόν σοι ποιήσω, φησίν, ἐὰν παρακλήτους πέμψῃς καὶ αὐτὸς μὴ ἔλθῃς.»... πρὸς τὸν μικρολόγον πλούσιον, «οὐχ οὗτος, ἔφη, τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον.» ἔλεγε τοὺς μικρολόγους τῶν μὲν ὑπαρχόντων ὡς ἰδίων ἐπιμελεῖσθαι, ὡς δ' ἐξ ἀλλοτρίων μηδὲν ὠφελεῖσθαι.

Πλέων μετὰ πονηρῶν λησταῖς περιέπεσε· τῶν δὲ Ἀπολώλαμεν εἰπόντων, ἐὰν γνωσθῶμεν, Ἐγὼ δέ, φησιν, ἐὰν μὴ γνωσθῶμεν.

IV, 7, 50. πλέων μετὰ πονηρῶν λησταῖς περιέπεσε· τῶν δέ, «ἀπολώλαμεν», εἰπόντων, ἐὰν γνωσθῶμεν, «ἐγὼ δέ γέ, φησίν, ἐὰν μὴ γνωσθῶ.»

Πρὸς βάσκανον ἐσκυθρωπακότα Ἦ σοὶ κακόν, ἔφη, γέγονεν ἢ ἄλλῳ ἀγαθόν.

VI, 7, 51. πρὸς τὸν βάσκανον ἐσκυθρωπακότα, «οὐκ οἶδα, ἔφη, πότερον σοὶ κακὸν γέγονεν ἢ ἄλλῳ ἀγαθόν.»

Διὰ δὲ τὸ παντὶ εἴδει λόγων κεκρᾶσθαί φασι λέγειν τὸν Ἐρατοσθένην ὡς πρῶτος Βίων φιλοσοφίαν [ἀνθινὰ] ἐνέδυσεν. Εὐφυὴς γὰρ ἦν καὶ παρῳδῆσαι· οἷά ἐστιν αὐτοῦ καὶ ταῦτα·

VI, 7, 52. διὰ δὴ οὖν τὸ παντὶ εἴδει λόγου κεκρᾶσθαί φασι λέγειν ἐπ' αὐτοῦ τὸν Ἐρατοσθένην, ὡς πρῶτος Βίων τὴν φιλοσοφίαν ἀνθινὰ ἐνέδυσεν. εὐφυὴς γὰρ ἦν καὶ παρῳδῆσαι· οἷά ἐστιν αὐτοῦ καὶ ταῦτα·

1. φησὶ ποιήσω Π: ἔφη ποιήσω Δ: ποιήσω φησίν Ε 3 δὲ ΔΠ: λείπει Ε σμικρολόγον Π: μικρολόγον ΔΕ 5. τοῦτον ΔΠ: τοῦτον — μικρολόγους Ε 6. καὶ Δ: λείπει ΠΕ τῶν μὲν — ὠφελεῖσθαι ΔΕ: λείπουσι Π ἰδίων Ε: μὲν ἰδίων Δ: λείπει Π. 7. δ' ΔΠ: δ' ἐξ Π 7-8. φείδεσθαι καὶ ΔΠ: λείπουσιν Ε 10. πλέων ΔΕ: πλέων δὲ Π 13. δὲ ΔΠ: δέ γε Ε γνωσθῶμεν ΔΠ: γνωσθῶ Ε 15. πρὸς ΔΠ: πρὸς τὸν Ε 16. ἢ — ἔφη ΔΠ: οὐκ — κακὸν Ε 19. δὲ τὸ ἔγραψα: δὲ τῷ ΔΠ: δὴ οὖν τὸ Ε λόγων ΔΠ: λόγου Ε 20. κεκρᾶσθαί Ε: κεκρᾶσθαι Δ: κερᾶσθαι Π φασι Ε: φασὶ ΔΠ λέγειν ΔΠ: λέγειν ἐπ' αὐτοῦ Ε 22. ἀνθινὰ Ε λείπει ΔΠ 23. οἷά ἐστιν Ε: οἷα ἐστὶν ΔΠ

Ε.Υ.Δ της Κατ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ὦ πέπον Ἀρχύτα, ψαλληγενές, ὀλβιότυφε,
τῆς ὑπάτης ἔριδος πάντων ἐμπειρόταt' ἀνδρῶν.

Ὦ πέπον Ἀρχύτα, ψαλληγενές, ὀλβιότυφε,
τῆς ὑπάτης ἔριδος πάντων ἐμπειρόταt' ἀνδρῶν.

Καρνεάδης μεγαλοφωνότατος ἦν, ὥςτε τὸν γυμνασίαρχον προςπέμψαι αὐτῷ μὴ οὕτω βοᾶν· τὸν δὲ εἰπεῖν, Καὶ δὸς μέτρον φωνῆς. Τὸν δ' εὐστόχως ἀμείψασθαι Ἔχεις μέτρον τοὺς ἀκούοντας.

IV, 9,62. Καρνεάδης... (63) ἦν δὲ καὶ μεγαλοφωνότατος, ὥςτε τὸν γυμνασίαρχον προςπέμψαι αὐτῷ μὴ οὕτω βοᾶν· τὸν δὲ εἰπεῖν, «καὶ δὸς μέτρον φωνῆς.» ἔνθεν εὐστόχως ἑλόντα ἀμείψασθαι· φάναι γάρ, «μέτρον ἔχεις τοὺς ἀκούοντας.»

Τούτου τὴν παλλακὴν ἐπείρα Μέντωρ ὁ Βιθυνός, μαθητὴς ὢν αὐτοῦ. Ὁ δὲ μεταξὺ λέγων παρῴδησεν εἰς αὐτόν·

Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής,
Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ [καὶ] αὐδήν·
τοῦτον σχολῆς τῆςδ' ἐκκεκηρῦχθαι λέγω.

IV, 9,63. Οὗτός ποτε Μέντορος τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος καὶ παρ' αὐτὸν ἐλθόντος εἰς τὴν διατριβήν, ὡς ἐπείρα αὐτοῦ τὴν παλλακὴν ὁ Μέντωρ, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ, μεταξὺ λέγων παρῴδησεν εἰς αὐτόν·

(64) Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής,
Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
τοῦτον σχολῆς τῆςδ' ἐκκεκηρῦχθαι λέγω·

Καὶ ὃς ἀναστὰς ἔφη·

καὶ ὃς ἀναστὰς ἔφη·

3-4. ἐμπειρόταt' Ε: ἐμπειρότατε ΔΠ 7. μεγαλοφωνότατος ἦν ΔΠ: ἦν δὲ καὶ μεγαλοφωνότατος Ε 11. τὸν δ' Δ: τὸν δὲ Π: ἔνθεν Ε εὐστόχως ΔΠ: εὐστόχως ἑλόντα Ε 12. ἔχεις μέτρον ΔΠ: φάναι γὰρ μέτρον ἔχεις Ε 15-18. τούτου — αὐτὸν ΔΠ: Οὗτός — αὐτὸν Ε 19. πωλεῖται Ε: πολεῖται Π: πολεῖται Δ τις ΠΕ: τίς Δ 22. καὶ αὐδὴν Ε: αὐγὴν ΔΠ 23-24. τῆςδ' ἐκκεκηρῦχθαι Ε: τῆςδε ἐκεκηρύχθαι ΔΠ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Εργ. ΝΕΦ. ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΚΥΤΣΙΟΣ ΕΥ. Α. ΑΣ. Κ. 1 ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα. | Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα. |
| Οὗτος ἔλεγε συνεχῶς· Ἡ συστήσασα φύσις καὶ διαλύσει. Μαθὼν δὲ Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ εὐθαρσὲς τῆς ἀπαλλαγῆς, καὶ φησι· Δότε οὖν κἀμοί. Εἰπόντων δὲ Τί; Οἰνόμελι, εἶπεν. | Δειλότερον δέ πως δοκεῖ περὶ τὴν τελευτὴν ἀνεστράφθαι, ὅτε συνεχὲς ἔλεγεν, «ἡ συστήσασα φύσις καὶ διαλύσει.» μαθών τε Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ εὐθαρσὲς τῆς ἀπαλλαγῆς καί φησι, «δότε οὖν κἀμοί·» τῶν δὲ εἰπόντων, «τί;» «οἰνόμελι» εἶπεν. |
| Οὗτος λέγεται νυκτὸς τὰς ὄψεις ὑποχυθῆναι καὶ ἀγνοεῖν, κελεῦσαί τε τὸν παῖδα λύχνον ἅψαι. Εἰσκομίσαντος δὲ καὶ εἰπόντος Κεκόμικα, Οὐκοῦν, εἰπεῖν, σὺ ἀναγίνωσκε. | IV, 9, 66. Λέγεται καὶ τὰς ὄψεις νυκτὸς ὑποχυθῆναι καὶ ἀγνοεῖν· κελεῦσαί τε τὸν παῖδα λύχνον ἅψαι· εἰσκομίσαντος δὲ καὶ εἰπόντος, «κεκόμικα», «οὐκοῦν», εἰπεῖν, σὺ ἀναγίνωσκε.» |
| Ἀριστοτέλης περιόντος Πλάτωνος ἀπέστη, ὥστε φασὶν ἐκεῖνον εἰπεῖν Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε, καθ' ἅπερ τὰ γεννηθέντα πωλάρια τὴν μητέρα. | V, 1, 1. Ἀριστοτέλης ... (?) Ἀπέστη δὲ Πλάτωνος ἔτι περιόντος· ὥστε φασὶν ἐκεῖνον εἰπεῖν, «Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε, καθαπερεὶ τὰ πωλάρια γεννηθέντα τὴν μητέρα.» |
| Ἀριστοτέλης, συστήσας Ἀλεξάνδρῳ τῷ Μακεδόνι τὸν συγγενῆ Καλλισθένην καὶ ἰδὼν αὐτὸν παρ- | V, 1, 4. ἐπειδὴ δ' ἐδόκει ἐπιεικῶς αὐτῷ συγγεγενῆσθαι Ἀλεξάνδρῳ ἀπῆρεν εἰς Ἀθήνας, συστή- |

3. οὗτος — συνεχῶς ΔΠ: Δειλότερον — ἔλεγεν Ε  5. δὲ Δ: δ' Π: τε Ε  7-8. καὶ φησι Ε: καὶ φησὶ ΔΠ  8. κἀμοὶ ΠΕ: καμοὶ Δ  9. εἶπεν ΔΕ: ἔφη Π  12. οὗτος—ὄψεις ΔΠ: Λέγεται—νυκτὸς Ε  13-14. κελεῦσαί τε Ε: κελεῦσαι τὲ ΔΠ  15. εἰπόντος ΔΕ: εἰπόντα Π  19-20. περιόντος — ἀπέστη ΔΠ: Ἀπέστη — περιόντος Ε  22. καθ' ἅπερ ἔγραψα: καθάπερ ΔΠ: καθαπερεὶ Ε  22-23. γεννηθέντα πωλάρια ΔΠ: πωλάρια γεννηθέντα Ε  25-27. ἀριστοτέλης — αὐτὸν ΔΠ: ἐπειδὴ—ὸν καὶ Ε  27. καλλισθένην ΔΕ: καλλισθένη Π

ρησιαστικώτερον λαλοῦντα τῷ βασιλεῖ καὶ μὴ πειθόμενον αὐτῷ, ἐπιπλήξας εἶπεν·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι
οἷ' ἀγορεύεις.

Τοῦτον ἀσκίον ἐλαίου θερμοῦ ἐπιτιθέμενον τῷ στομάχῳ φασὶν ὑπνώττειν· καὶ ὁπότε κοιμῷτο, σφαῖραν χαλκῆν βάλλεσθαι αὐτῷ εἰς τὴν χεῖρα, λεκάνης ὑποκειμένης, ἵν', ἐκπιπτούσης τῆς σφαίρας εἰς τὴν λεκάνην, ὑπὸ τοῦ ψόφου ἐξεγείροιτο.

Εἰώθει τε λέγειν πρὸς τοὺς φοιτῶντας, ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων. Τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι πυροὺς καὶ νόμους, ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ οὔ.

σας αὐτῷ τὸν συγγενῆ Καλλισθένην τὸν Ὀλύνθιον· (5) ὃν καὶ παρρησιαστικώτερον λαλοῦντα τῷ βασιλεῖ καὶ μὴ πειθόμενον αὐτῷ φασιν ἐπιπλήξαντα εἰπεῖν·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι,
οἷ' ἀγορεύεις.

V, 1, 16. ἔνιοι δὲ καὶ ἀσκίον θερμοῦ ἐλαίου ἐπιτιθέναι αὐτὸν τῷ στομάχῳ φασί· καὶ ὁπότε κοιμῷτο, σφαῖραν χαλκῆν βάλλεσθαι αὐτῷ εἰς τὴν χεῖρα λεκάνης ὑποκειμένης, ἵν' ἐκπεσούσης τῆς σφαίρας εἰς τὴν λεκάνην ὑπὸ τοῦ ψόφου ἐξέγροιτο.

V, 1, 17. συνεχὲς εἰώθει λέγειν πρός τε τοὺς φίλους καὶ τοὺς φοιτῶντας αὐτῷ, ἔνθα ἂν καὶ ὅπου διατρίβων ἔτυχεν, ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος {ἀέρος} λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων. πολλάκις δὲ καὶ ἀποτεινόμενος τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι πυροὺς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ μή.

3. ἐπιπλήξας εἶπεν ΔΠ: φασὶν ἐπιπλήξαντα εἰπεῖν Ε 4. ἔσσεαι Ε: ἔσεαι ΔΠ 8. τοῦτον ἀσκίον ἐλαίου θερμοῦ ἐπιτιθέμενον Δ: τοῦτον ἐλαίου θερμοῦ ἀσκίον ἐπιτιθέμενον Π: ἔνιοι δὲ καὶ ἀσκίον θερμοῦ ἐλαίου ἐπιτιθέναι αὐτὸν Ε 9-10. φασὶν ὑπνώττειν ΔΠ: φασὶ Ε 13. ἐκπιπτούσης ΔΠ: ἐκπεσούσης Ε
15. ἐξεγείροιτο ΔΠ: ἐξέγροιτο Ε 16. εἰώθει τε (τὲ Δ: δὲ Π) λέγειν πρὸς ΔΠ: συνεχὲς — φίλους καὶ Ε 17. φοιτῶντας ΔΠ: φοιτῶντας — ἔτυχεν Ε ὅρασις ΔΕ: ὄψις Π 20-23. τοὺς ἀθηναίους — οὔ ΔΠ: πολλάκις — μὴ Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Υ. Α. ms Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἐρωτηθεὶς τί γηράσκει ταχύ. Χάρις, ἔφη, καὶ τί ἐστιν ἐλπίς, Ἐγρηγορότος, εἶπεν, ἐνύπνιον. Διογένους ἰσχάδα αὐτῷ διδόντος, νοήσας, ὅτι, εἰ μὴ λάβοι, χρείαν ἐκεῖνος εἴη μεμελετηκώς, λαβὼν ἔφη Διογένην μετὰ τῆς χρείας καὶ τὴν ἰσχάδα ἀπολωλεκέναι.

Τὸ κάλλος ἔλεγε δῶρον εὐμορφίας· Σωκράτης δὲ ὀλιγοχρόνιον τυραννίδα· Πλάτων προτέρημα φύσεως· Θεόφραστος σιωπῶσαν ἀπάτην· Θεόκριτος ἐλεφαντίνην ζημίαν· Καρνεάδης ἀδορυφόρητον βασιλείαν. Ἐρωτηθεὶς πόσον διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη· Ὅσον οἱ ζῶντες τῶν τεθνεώτων. Τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν. Πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη Οὐ τοῦτο, ἔφη, δεῖ σκοπεῖν, ἀλλ' ὅςτις μεγάλης πατρίδος ἄξιός ἐστιν.

V, 1, 18. Ἐρωτηθεὶς τί γηράσκει ταχύ, «χάρις,» ἔφη. ἐρωτηθεὶς τί ἐστιν ἐλπίς, «ἐγρηγορότος, εἶπεν, ἐνύπνιον.» Διογένους ἰσχάδα διδόντος αὐτῷ νοήσας ὅτι, εἰ μὴ λάβοι, χρείαν εἴη μεμελετηκώς, λαβὼν ἔφη Διογένην μετὰ τῆς χρείας καὶ τὴν ἰσχάδα ἀπολωλεκέναι.

V, 1, 18. τὸ κάλλος παντὸς ἔλεγεν ἐπιστολίου συστατικώτερον. (19) οἱ δὲ τοῦτο μὲν Διογένην φασὶν ὁρίσασθαι, αὐτὸν δὲ θεοῦ δῶρον εἰπεῖν εὐμορφίαν· Σωκράτην δὲ ὀλιγοχρόνιον τυραννίδα· Πλάτωνα προτέρημα φύσεως· Θεόφραστον σιωπῶσαν ἀπάτην· Θεόκριτον ἐλεφαντίνην ζημίαν· Καρνεάδην ἀδορυφόρητον βασιλείαν· ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, «Ὅσῳ εἶπεν, οἱ ζῶντες τῶν τεθνεώτων.» τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν . . . πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πό-

2. καὶ ΔΠ; ἐρωτηθεὶς Ε 3. ἐγρηγορότος ΠΕ: γρηγορούντων Δ 4. αὐτῷ διδόντος ΔΠ: διδόντος αὐτῷ Ε 6. ἐκεῖνος ΔΠ; λείπει Ε 8. ἀπολωλεκέναι ΔΕ: ἀπολώλεκε Π 10. ἔλεγε δῶρον εὐμορφίας ΔΠ: παντὸς — εὐμορφίαν Ε 11. σωκράτης ΔΠ: Σωκράτην Ε δὲ ΔΕ: δ' Π 12. πλάτων ΔΠ: Πλάτωνα Ε 13. θεόφραστος ΔΠ: Θεόφραστον Ε 14. θεόκριτος ΔΠ: Θεόκριτον Ε 15. καρνεάδης ΔΠ: Καρνεάδην Ε 16. πόσον ΔΠ: τίνι Ε 18. ἔφη ὅσον ΔΠ: Ὅσῳ ἔφη Ε 21. ἀτυχίαις ΠΕ: εὐτυχίαις (τοῦ α γραφέντος ὑπὸ νεωτέρας χειρὸς) Δ 24. δεῖ σκοπεῖν ΔΕ: σκοπεῖν δεῖ Π ὅςτις ΔΠ: εἴ τις Ε 25. ἄξιός ἐστιν ΔΕ: ἄξιος ἐστὶ Π



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Ε. Ν. Φ. Κ.Θ.Π ΙΩΑΝΝΙΝΑ 2006

λέως εἴη, «οὐ τοῦτο, ἔφη, δεῖ σκοπεῖν, ἀλλ' εἴ τις μεγάλης πατρίδος ἄξιός ἐστιν.»

Τῶν ἀνθρώπων ἔλεγε τοὺς μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δ' οὕτως ἀναλίσκειν ὡς αὐτίκα τεθνηξομένους. Πρὸς τὸν πυθόμενον διὰ τί τοῖς καλοῖς πολὺν χρόνον ὁμιλοῦμεν, Τυφλοῦ, ἔφη, τὸ ἐρώτημα. Ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταί, ἔφη· Ἐὰν τοὺς προέχοντας διώκοντες τοὺς ὑστέρους μὴ ἀναμένωσι.

V. 1.20. τῶν ἀνθρώπων ἔλεγε τοὺς μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δὲ οὕτως ἀναλίσκειν ὡς αὐτίκα τεθνηξομένους. πρὸς τὸν πυθόμενον διὰ τί τοῖς καλοῖς πολὺν χρόνον ὁμιλοῦμεν, «τυφλοῦ, ἔφη, τὸ ἐρώτημα.» ....ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταί, ἔφη, «ἐὰν τοὺς προέχοντας διώκοντες τοὺς ὑστεροῦντας μὴ ἀναμένωσι.»

Θεόφραστος τοσοῦτον ἀποδοχῆς ἀξιοῦται παρ' Ἀθηναίοις, ὥστε Ἀγνωνίδης τολμήσας αὐτὸν ἀσεβείας γράψασθαι, μικροῦ καὶ προςώφλεν.

V, 2. 36. Θεόφραστος .... (37) τοσοῦτον δ' ἀποδοχῆς ἠξιοῦτο παρ' Ἀθηναίοις, ὥστε Ἀγνωνίδης τολμήσας ἀσεβείας αὐτὸν γράψασθαι, μικροῦ καὶ προςώφλεν.

Οὗτος ἔφη μᾶλλον δεῖν πιστεύειν ἵππῳ ἀχαλινώτῳ ἢ λόγῳ ἀσυντάκτῳ. Πρὸς τὸν ἐν συμποσίῳ σιωπῶντα ἔφη· Εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς, εἰ δὲ πεπαίδευσαι, ἀφρόνως. Ἐτελεύτησε δ' ἐπειδὴ ὀλίγον ἀνῆκε τῶν πόνων. Καὶ ἔστιν ἐπίγραμμα εἰς αὐτόν·

V, 2, 39. Φέρεται δ' αὐτοῦ ἀποφθέγματα ταυτὶ χρειώδη· θᾶττον ἔφη πιστεύειν δεῖν ἵππῳ ἀχαλίνῳ ἢ λόγῳ ἀσυντάκτῳ. (40) πρὸς δὲ τὸν ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον ἔφη, «εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς, εἰ δὲ πεπαίδευσαι, ἀφρόνως.»... Ἐτελεύτα

6. δ' ΔΠ δὲ Ε 12. προέχοντας ΠΕ: προέχοντες Δ 13. ὑστέρους ΔΠ: ὑστεροῦντας Ε ἀναμένωσι Ε: ἀναμένωσιν ΔΠ
16. τοσοῦτον ΔΠ: τοσοῦτον δ' Ε 17. ἀξιοῦται ΔΠ: ἠξιοῦτο Ε
22. οὗτος ἔφη μᾶλλον δεῖν πιστεύειν ΔΠ: θᾶττον ἔφη πιστεύειν δεῖν Ε 23. ἀχαλινώτῳ ΔΠ: ἀχαλίνῳ Ε 24. τὸν ἐν ΔΠ: δὲ τὸν ἐν τῷ Ε 25. σιωπῶντα ΔΠ: σιωπῶντα τὸ ὅλον Ε 26. εἶ ΔΕ: εἰς Π 27. ἐτελεύτησε ΔΠ: ἐτελεύτα Ε 28. δ' (δὲ Δ) ἐπειδὴ ΔΠ: δὲ γηραιὸς — ἐπειδήπερ Ε 29. ἐπίγραμμα ΔΠ: ἡμῶν Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος
μερόπων τινὶ λέχθη,
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον.
Δὴ γὰρ καὶ Θεόφραστος ἕως
ἐπόνει μὲν ἄπηρος
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε
πηρομελής.

Φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῶν μαθητῶν, εἴ τι ἐπισκήπτει, εἰπεῖν· Ἐπισκήπτειν μὲν ἔχειν οὐδέν, πλὴν ὅτι πολλὰ τῶν ἡδέων ὁ βίος διὰ τὴν δόξαν καταλαζονεύεται. Ἡμεῖς γὰρ ὁπότε ἠρχόμεθα ζῆν, τότε ἀπεθνήσκομεν. Οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας. Ἀλλ' εὐτυχεῖτε, καὶ ἤτοι τὸν λόγον ἄφετε· πολὺς γὰρ ὁ πόνος· ἢ καλῶς αὐτοῦ πρόστητε· μεγάλη γὰρ ἡ δόξα. Τὸ δὲ κενὸν τοῦ βίου πλεῖον τοῦ συμφέροντος. Ἀλλ' ἐμοὶ μὲν οὐκέτ' ἐκποιεῖ βουλεύεσθαι τί πρακτέον, ὑμεῖς δ'

δὲ γηραιός, βιοὺς ἔτη πέντε καὶ ὀγδοήκοντα, ἐπειδήπερ ὀλίγον ἀνῆκε τῶν πόνων. καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος
μερόπων τινὶ λέχθη,
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον·
δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν ἄπηρος
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής.

Φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῶν μαθητῶν εἴ τι ἐπισκήπτει, εἰπεῖν. «ἐπισκήπτειν μὲν ἔχειν οὐδέν, πλὴν ὅτι πολλὰ τῶν ἡδέων ὁ βίος διὰ τὴν δόξαν καταλαζονεύεται. (41) ἡμεῖς γὰρ ὁπότ' ἀρχόμεθα ζῆν, τότ' ἀποθνήσκομεν. οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας. ἀλλ' εὐτυχεῖτε καὶ ἤτοι τὸν λόγον ἄφετε — πολὺς γὰρ ὁ πόνος — ἢ καλῶς αὐτοῦ πρόστητε· μεγάλη γὰρ ἡ δόξα. τὸ δὲ κενὸν τοῦ βίου πλέον τοῦ συμφέροντος. ἀλλ' ἐμοὶ μὲν οὐκέτ' ἐκποιεῖ βουλεύεσθαι τί πρα-

5. δὴ ΠΕ: δεῖ Δ  7. ἀνεθεὶς ΠΕ: ανεθεις Δ  15-16. ἔχειν οὐδὲν ΔΕ: οὐδὲν ἔχειν Π  16. ὅτι Ε: λείπει ΔΠ  17-18. δόξαν καταλαζονεύεται ΠΕ: δόξαν (κενὸν ὡσεὶ δέκα γραμμάτων) καταλαζονεύεται Δ  18. ὁπότε Δ: ὁπότ' ΠΕ  18-19. ἠρχόμεθα ΔΠ: ἀρχόμεθα Ε  19. τότε ἀπεθνήσκομεν ΔΠ: τότ' ἀποθνήσκομεν Ε  20. ἀλυσιτελέστερόν ἐστι ΠΕ: ἀλυσιτελέστερον ἐστὶ Δ  23. πρόστητε Ε: προύστητε ΔΠ  25. πλεῖον ΔΠ: πλέον Ε  26. οὐκέτ' ἐκποιεῖ Ε: οὐκέτι ποιεῖ ΔΠ  27. δ' Ε: δὲ ΔΠ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α. τ.Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐπισκέψασθε τί ποιητέον. Ταῦτ' εἰπὼν ἀπέπνευσε.

κτέον, ὑμεῖς δ' ἐπισκέψασθε τί ποιητέον.» Ταῦτα, φασίν, εἰπὼν ἀπέπνευσε.

Δημήτριος ὁ Φαληρεύς, ἀκούσας, ὅτι τὰς εἰκόνας αὐτοῦ Ἀθηναῖοι κατέστρεψαν, Ἀλλ' οὐ τὴν ἀρετήν, ἔφη, δι' ἣν ἐκείνας ἀνέστησαν. Ἔλεγε δὲ μὴ μικρὸν εἶναι μέρος τὰς ὀφρῦς· ὅλῳ γοῦν ἐπισκοτῆσαι δύνασθαι τῷ βίῳ. Οὗτος οὐ μόνον ἔφη τὸν πλοῦτον τυφλόν, ἀλλὰ καὶ τὴν ὁδηγοῦσαν αὐτὸν Τύχην.

V, 5.75. Δημήτριος Φανοστράτου Φαληρεύς. (82) Οὗτος ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ κατέστρεψαν Ἀθηναῖοι, «ἀλλ' οὐ τὴν ἀρετήν, ἔφη, δι' ἣν ἐκείνας ἀνέστησαν.» ἔλεγε μικρὸν μὲν εἶναι μέρος τὰς ὀφρῦς, ὅλῳ δ' ἐπισκοτῆσαι τῷ βίῳ δύνασθαι. οὐ μόνον τὸν πλοῦτον ἔφη τυφλόν, ἀλλὰ καὶ τὴν ὁδηγοῦσαν αὐτὸν τύχην.

Ἰδὼν νεανίσκον ἄσωτον, Ἰδού, ἔφη, τετράγωνος Ἑρμῆς, ἔχων σύρμα, κοιλίαν, αἰδοῖον, πώγωνα.

V, 5.82. ἰδὼν ποτε νεανίσκον ἄσωτον, «ἰδού, ἔφη, τετράγωνος Ἑρμῆς ἔχων σύρμα, κοιλίαν, αἰδοῖον, πώγωνα.»

Τοὺς νεανίσκους ἔφη ἐπὶ μὲν τῆς οἰκίας δεῖν τοὺς γονέας αἰδεῖσθαι, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς.

V, 5.82. τοὺς νέους ἔφη δεῖν ἐπὶ μὲν τῆς οἰκίας τοὺς γονέας αἰδεῖσθαι, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς.

Τοὺς φίλους ἐπὶ τὰ ἀγαθὰ παρακαλουμένους ἰέναι, ἐπὶ δὲ τὰς συμφορὰς αὐτομάτους.

V, 5.83. τοὺς φίλους ἐπὶ μὲν τὰ ἀγαθὰ παρακαλουμένους ἀπιέναι, ἐπὶ δὲ τὰς συμφορὰς αὐτομάτους.

1-2. ταῦτ' εἰπὼν ΔΠ : ταῦτα, φασίν, εἰπὼν Ε 2. ἀπέπνευσε Ε : ἀπέπνευσεν ΔΠ 5. ὁ ΔΠ : Φανοστράτου Ε Φαληρεύς Ε : φαλληρεύς ΔΠ 5-6. ἀκούσας ΔΠ : οὗτος ἀκούσας Ε 6-7. ἀθηναῖοι κατέστρεψαν ΔΠ : κατέστρεψαν Ἀθηναῖοι Ε 8. ἣν ΠΕ : ἧς Δ 9. δὲ μὴ ΔΠ : λείπουσιν Ε 10. εἶναι ΔΠ : μὲν εἶναι Ε δ' ΔΠ : γοῦν Ε 11. δύνασθαι τῷ βίῳ ΔΠ : τῷ βίῳ δύνασθαι Ε 12. οὗτος ΔΠ : λείπει Ε ἔφη τὸν πλοῦτον ΔΠ : τὸν πλοῦτον ἔφη Ε 16. ἰδὼν ΔΠ : ἰδὼν ποτε Ε 19. νεανίσκους ΔΠ : νέους Ε ἐπὶ ΔΠ : δεῖν ἐπὶ Ε 20. οἰκίας δεῖν ΔΠ : οἰκίας Ε 25. τὰ ΔΠ : μὲν τὰ Ε 26. ἰέναι ΔΠ : ἀπιέναι Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

| | |
|---|---|
| Ἡρακλείδης ὁ ἐξ Ἡρακλείας τοῦ Πόντου ἐσθῆτί τε μαλακῇ ἐχρῆτο καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικόν, ἀλλὰ Πομπικὸν καλεῖσθαι. | V. 6. 86. Ἡρακλείδης Εὐθύφρονος Ἡρακλεώτης τοῦ Πόντου . . . Οὗτος ἐσθῆτί τε μαλακῇ ἐχρῆτο καὶ ὑπέρογκος ἦν τὸ σῶμα ὥστ' αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικὸν ἀλλὰ Πομπικὸν καλεῖσθαι. |
| Ἀντισθένης, ὀνειδιζόμενος ὡς οὐκ ἰθαγενής, Καὶ ἡ μήτηρ τῶν θεῶν, εἶπε, Φρυγία ἐστίν· ἐδόκει γὰρ εἶναι Θρᾴττης μητρός. Οὗτος τοὺς Ἀθηναίους ἐπὶ τῷ γηγενεῖς εἶναι σεμνολογουμένους ἐκφαυλίζων ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀττελεβῶν εὐγενεστέρους. | VI. 1. 1. Ἀντισθένης Ἀντισθένους Ἀθηναῖος. ἐλέγετο δ' οὐκ εἶναι ἰθαγενής· ὅθεν καὶ πρὸς τὸν ὀνειδίζοντα εἰπεῖν, «καὶ ἡ μήτηρ τῶν θεῶν Φρυγία ἐστίν.» ἐδόκει γὰρ εἶναι Θρᾴττης μητρός· . . . . καὶ αὐτὸς δὲ τοὺς Ἀθηναίους ἐπὶ τῷ γηγενεῖς εἶναι σεμνυνομένους ἐκφαυλίζων ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀττελεβῶν εὐγενεστέρους. |
| Παραβαλὼν Σωκράτει, τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς. Οἰκῶν τ' ἐν Πειραιεῖ, καθ' ἑκάστην ἡμέραν ἀνιὼν τεσσαράκοντα σταδίους ἤκουε Σωκράτους. | VI. 1. 2. ὕστερον δὲ παρέβαλε Σωκράτει, καὶ τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς. οἰκῶν τ' ἐν Πειραιεῖ καθ' ἑκάστην ἡμέραν τετταράκοντα σταδίους ἀνιὼν ἤκουε Σωκράτους... |

1-2. ὁ ἐξ — πόντου ΔΠ: Εὐθύφρονος — οὗτος Ε 2. ἐσθῆτί τε Ε: ἐσθῆτι τὲ ΔΠ 3. ὑπέρογκος ΠΕ: ὑπέρογγος Δ 4. ὥστε ΔΠ: ὥστ' Ε μὴ ΠΕ: οὐ Δ 9-10. Ἀντισθένης — ἰθαγενὴς ΔΠ: Ἀντισθένης—εἰπεῖν Ε 10. ἰθαγενὴς Ε: ἠθαγενὴς ΔΠ 11. εἶπε ΔΠ: λείπει Ε 11-12. ἐδόκει μητρος — ΠΕ: λείπουσι Δ 12. οὗτος ΔΠ: καὶ αὐτὸς δὲ Ε 14. σεμνολογουμένους Δ: σεμνυνολογουμένους Π: σεμνυνομένους Ε 16. ἀττελέβων Ε: ἀτταβέλλων ΔΠ 20. παραβαλὼν ΔΠ: ὕστερον δὲ παρέβαλε Ε τοσοῦτον ΔΠ: καὶ τοσοῦτον Ε 24. τ' Ε: τε ΔΠ 25. ἀνιὼν τεσσαράκοντα σταδίους ΔΠ: τετταράκοντα σταδίους ἀνιὼν Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γ. Α. Π. ΚΤ. Ι ΙΩΑΝΝΙΝΑ 2006

Ἔλεγέ τε συνεχῶς Μανείην μᾶλλον ἢ ἡσθείην, καὶ Χρὴ τοιαύταις πλησιάζειν γυναιξίν, αἳ καὶ χάριν εἴσονται.

VI, 1, 3. ἔλεγέ τε συνεχές, «μανείην μᾶλλον ἢ ἡσθείην· καί, «χρὴ τοιαύταις πλησιάζειν γυναιξὶν αἳ χάριν εἴσονται.»

Ἀκούσας ὡς Πλάτων αὐτὸν κακῶς λέγοι, Βασιλικόν, ἔφη, καλῶς ποιοῦντα κακῶς ἀκούειν.

VI, 1, 3. ἀκούσας ποτὲ ὅτι Πλάτων αὐτὸν κακῶς λέγει, «βασιλικόν, ἔφη, καλῶς ποιοῦντα κακῶς ἀκούειν.»

Μυούμενός ποτε τὰ Ὀρφικά, τοῦ ἱερέως εἰπόντος ὡς οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν Ἅδου μεθέξουσι, Τί οὖν, ἔφη, οὐκ ἀποθνήσκεις; Ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητάς, ἔφη· Ὅτι ἀργυρέᾳ αὐτοὺς ἐκβάλλω ῥάβδῳ. Ἐρωτηθεὶς διὰ τί τοῖς μαθηταῖς ἐπιπλήττει πικρῶς, Καὶ ἰατροί, φησι, τοῖς κάμνουσιν.

VI, 1, 4. μυούμενός ποτε τὰ Ὀρφικά, τοῦ ἱερέως εἰπόντος ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἐν ᾅδου ἀγαθῶν μετίσχουσι, «τί οὖν, ἔφη, οὐκ ἀποθνήσκεις;».....ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητάς, ἔφη, «ὅτι ἀργυρέᾳ αὐτοὺς ἐκβάλλω ῥάβδῳ.» ἐρωτηθεὶς διὰ τί πικρῶς τοῖς μαθηταῖς ἐπιπλήττει, «καὶ οἱ ἰατροί, φησί, τοῖς κάμνουσιν.»

Αὖθις ἐρωτηθεὶς τί μακαριώτατον ἐν ἀνθρώποις, εἶπεν Εὐτυχοῦντα ἀποθανεῖν. Γνωρίμου πρὸς αὐτὸν ἀποδυρομένου ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, Ἔδει γάρ, ἔφη, ἐν τῇ ψυχῇ αὐτὰ καὶ

VI, 1, 5. ἐρωτηθεὶς τί μακαριώτατον ἐν ἀνθρώποις, ἔφη «τὸ εὐτυχοῦντα ἀποθανεῖν.» γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυρομένου ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, ἔδει γάρ, ἔφη, ἐν τῇ ψυχῇ αὐτὰ

1. συνεχῶς ΔΠ: συνεχὲς Ε 4. καὶ Δ: λείπει ΠΕ 5. ἀκούσας ὡς Π: ἀκούων ὡς Δ: ἀκούσας ποτὲ ὅτι Ε 6. λέγοι Δ: λέγει ΠΕ 9. μυούμενός ΔΕ: μυούμενος δὲ Π 10. ὡς ΔΠ: ὅτι Ε 11. ἀγαθῶν ἐν ᾅδου ΔΠ: ἐν ᾅδου ἀγαθῶν Ε 12. μεθέξουσι Π: μεθέξουσιν Δ: μετίσχουσι Ε 14-15. ἔφη ὅτι ἀργυρέᾳ ΠΕ: ὅτι ἔφη ἀργυρᾷ Δ 15. ἐκβάλλω ΔΕ: ἐκβάλω Π
16-17. τοῖς μαθηταῖς ἐπιπλήττει πικρῶς ΔΠ: πικρῶς τοῖς μαθηταῖς ἐπιπλήττει Ε 17. ἰατροί ΔΠ: οἱ ἰατροί Ε 18. φησι Π: φησί Ε: φασι Δ 20. αὖθις Π: πάλιν Δ: λείπει Ε 20-21. μακαριώτατον Ε: μακαριώτερον ΔΠ 21-22. εἶπεν εὐτυχοῦντα Δ: εὐτυχοῦντα εἶπεν Π: ἔφη τὸ εὐτυχοῦντα Ε 22. πρὸς ΔΠ: ποτε πρὸς Ε

μὴ ἐν τοῖς χάρταις καταγράφειν. Τοὺς βουλομένους ἀθανάτους εἶναι ἔφη ζῆν εὐσεβῶς καὶ δικαίως. Ἐπαινούμενός ποτε ὑπὸ πονηρῶν, Ἀγωνιῶ, εἶπε, μή τι κακὸν εἴργασμαι.

Ἄτοπον ἔφη τοῦ μὲν σίτου τὰς αἴρας ἐκλέγειν καὶ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς πονηροὺς μὴ παραιρεῖσθαι. Εἰπόντος αὐτῷ τινος παρὰ πότον Ἆσον, Σύ μοι, ἔφη, αὔλησον.

Ἔσκωπτε Πλάτωνα ὡς τετυφωμένον. Πομπῆς οὖν γενομένης, ἵππον θεασάμενος φρυακτήν, φησι πρὸς Πλάτωνα· Ἐδόκεις μοι εἶναι καὶ σὺ ἵππος λαμπρυντής. Τοῦτο δ' εἶπεν ἐπεὶ Πλάτων συνεχῶς ἵππον ἐπῄνει. Καί ποτ' ἐλθὼν πρὸς αὐτὸν νοσοῦντα καὶ θεασάμενος λεκάνην ἔνθα ὁ Πλάτων ἐμημέκει, Χολὴν μέν, ἔφη, ὁρῶ ἐνταῦθα, τῦφον δὲ οὐχ ὁρῶ.

Πρὸς τὸν ἐπαινοῦντα τρυφὴν

καὶ μὴ ἐν τοῖς χαρτίοις καταγράφειν.» . . . τοὺς βουλομένους ἀθανάτους εἶναι ἔφη δεῖν εὐσεβῶς καὶ δικαίως ζῆν . . . ἐπαινούμενός ποτε ὑπὸ πονηρῶν, ἔφη, «ἀγωνιῶ μή τι κακὸν εἴργασμαι.»

VI, 1. 6. ἄτοπον ἔφη τοῦ μὲν σίτου τὰς αἴρας ἐκλέγειν καὶ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς πονηροὺς μὴ παραιτεῖσθαι . . . εἰπόντος αὐτῷ τινος παρὰ πότον, «ᾆσον,» «σὺ δέ μοι φησίν, αὔλησον.»

VI, 1, 7. ἔσκωπτέ τε Πλάτωνα ὡς τετυφωμένον. πομπῆς γοῦν γενομένης ἵππον θεασάμενος φρυακτὴν φησι πρὸς τὸν Πλάτωνα, «ἐδόκεις μοι καὶ σὺ ἵππος ἂν εἶναι λαμπρυντής·» τοῦτο δὲ ἐπεὶ καὶ συνεχὲς ὁ Πλάτων ἵππον ἐπῄνει. καὶ ποτ' ἐλθὼν πρὸς αὐτὸν νοσοῦντα καὶ θεασάμενος λεκάνην ἔνθα ὁ Πλάτων ἐμημέκει ἔφη, «χολὴν μὲν ὁρῶ ἐνταῦθα, τῦφον δὲ οὐχ ὁρῶ.»

VI, 1, 8. πρὸς τὸν ἐπαινοῦντα

1. τοῖς Ε: ταῖς ΔΠ    χάρταις ΔΠ: χαρτίοις Ε    3. ἔφη ΠΕ: λείπει Δ    ζῆν ΔΠ: δεῖν Ε    δικαίως ΔΠ: δικαίως ζῆν Ε    5. ἀγωνιῶ εἶπε ΔΠ: ἔφη ἀγωνιῶ Ε    8. αἴρας Ε: ἔρρας ΔΠ    10. παραιρεῖσθαι ΔΠ: παραιτεῖσθαι Ε    11. αὐτῷ τινος (τινὸς Δ) ΔΕ: τινὸς αὐτῷ ΠΕ    12. σύ μοι ἔφη ΔΠ: σὺ δέ μοι φησὶν Ε    14. ἔσκωπτε ΔΠ: ἔσκωπτέ τε Ε    16. φησι Ε: φησὶ ΔΠ    17. πρὸς ΔΠ: πρὸς τὸν Ε    18. εἶναι καὶ σὺ ἵππος ΔΠ: καὶ σὺ ἵππος ἂν εἶναι Ε    19-20. δ' — συνεχῶς ΔΠ: δὲ ἐπεὶ καὶ συνεχὲς ὁ Πλάτων Ε    20. ἐπῄνει ΠΕ: ἐπῄνοι Δ    ποτ' Ε: ποτε ΔΠ    23. ἐμημέκει ΠΕ: ἐμεμημέκει Δ    χολὴν μὲν ἔφη Δ: χολὴν μὲν Π: ἔφη χολὴν μὲν Ε    25. τῦφον Ε: τύφον ΔΠ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥΓΛ ΙΩΑΝΝΙΝΑ 2006

Ἐχθρῶν, ἔφη, παῖδες τρυφήσειαν.

Ποντικοῦ νεανίσκου ἐπαγγελλομένου δοῦναι χρυσίον αὐτῷ, εἰ τὸ πλοῖον αὐτῷ τῶν ταρίχων ἀφίκοιτο, λαβὼν αὐτὸν καὶ θύλακον κενόν, πρὸς ἀλφιτόπωλιν ἧκε, καὶ σαξάμενος ἀπῄει. Τῆς δὲ αἰτούσης τὸ διάφορον, Ὁ νεανίσκος, ἔφη, δώσει, ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται.

Εἴ ποτε θεάσαιτο γύναιον κεκοσμημένον, ἀπῄει ἐπὶ τὴν οἰκίαν, καὶ ἐκέλευε τὸν ἄνδρα ἐξάγειν ἵππον καὶ ὅπλα, ὥστε, εἰ μὲν ἔχοι ταῦτα, ἐᾶν τρυφᾶν· ἀμυνεῖσθαι γὰρ τούτοις· εἰ δὲ μή, περιαιρεῖν τὸν κόσμον.

Ἐτελεύτησε δὲ ἀρρωστίᾳ· ὅτε καὶ Διογένης, εἰσιὼν πρὸς αὐτόν, ἔφη· Μή τις χρεία φίλου; Καί ποτε παρ' αὐτὸν ξιφίδιον ἔχων εἰσῆλθε. Τοῦ δ' εἰπόντος Τίς ἀπολύσει με τῶν πόνων; δείξας τὸ ξιφίδιον, ἔφη, Τοῦτο· καὶ ὅς Τῶν πόνων, ἔφη, εἶπον, οὐ τοῦ ζῆν.»

τρυφήν, «ἐχθρῶν παῖδες, ἔφη, τρυφήσειαν.»

VI. 1. 9. Ποντικοῦ νεανίσκου πολυωρήσειν αὐτοῦ ἐπαγγελλομένου, εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταρίχων, λαβὼν αὐτὸν καὶ θύλακον κενὸν πρὸς ἀλφιτόπωλιν ἧκε καὶ σαξάμενος ἀπῄει· τῆς δὲ αἰτούσης τὸ διάφορον, «ὁ νεανίσκος, ἔφη, δώσει, ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται.»

VI. 1, 10. εἰ δέ ποθι θεάσαιτο γύναιον κεκοσμημένον, ἀπῄει ἐπὶ τὴν οἰκίαν αὐτῆς καὶ ἐκέλευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ ὅπλα, ὥστ' εἰ μὲν ἔχοι ταῦτα, ἐᾶν τρυφᾶν· ἀμύνεσθαι γὰρ τούτοις· εἰ δὲ μή, περιαιρεῖν τὸν κόσμον.

VI, 1, 18. Ἐτελεύτησε δὲ ἀρρωστίᾳ· ὅτε καὶ Διογένης εἰσιὼν πρὸς αὐτὸν ἔφη, «μήτι χρεία φίλου;» καὶ ποτὲ παρ' αὐτὸν ξιφίδιον ἔχων εἰσῄει. τοῦ δ' εἰπόντος, «τίς ἂν ἀπολύσειέ με τῶν πόνων;» δείξας τὸ ξιφίδιον, ἔφη, «τοῦτο·» καὶ ὅς, «τῶν πόνων, εἶπον, οὐ τοῦ ζῆν.»

1. ἔφη παῖδες Π: εἶπε παῖδες Δ: παῖδες ἔφη Ε 3-4. ἐπαγγελλομένου — αὐτῷ ΔΠ: πολυωρήσειν αὐτοῦ ἐπαγγελλομένου Ε 5. αὐτῷ Π: λείπει ΔΕ 7. ἀλφιτόπωλιν Ε: ἀλφιτοπῶλιν ΔΠ 10. αὐτοῦ ΔΕ: αὐτῷ Π 12. εἴ ποτε ΔΠ: εἰ δέ ποθι Ε 13. ἐπὶ ΠΕ: ἐς Δ 13-14. οἰκίαν ΔΠ: οἰκίαν αὐτῆς Ε 14-15. ἐξάγειν ΔΠ: ἐξαγαγεῖν Ε 15. ὥστε ΔΠ: ὥστ' Ε 16. ἀμυνεῖσθαι Δ: ἀμύνεσθαι ΠΕ 17. περιαιρεῖν ΠΕ: περιερεῖν Δ 19. δὲ ΔΕ: δ' Π 21. μή τις ΔΠ: μήτι Ε 22. παρ' ΠΕ: πρὸς Δ 23. εἰσῆλθε ΔΠ: εἰσῄει Ε δ' ΠΕ: δὲ Δ 23-24. ἀπολύσει ΔΠ: ἂν ἀπολύσειέ Ε 26. ἔφη ΔΠ: λείπει Ε

Ε. ΣΤ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

Διογένης ὁ Σινωπεύς, τοῦ πατρὸς αὐτοῦ τὸ νόμισμα παραχαράξαντος, ἔφυγε μετ' αὐτοῦ.

Καὶ γενόμενος 'Αθήνησιν 'Αντισθένει παρέβαλε. Τοῦ δὲ διωθουμένου διὰ τὸ μηδένα προςίεσθαι, ἐξεβιάζετο τῇ προςεδρίᾳ. Καί ποτε τὴν βακτηρίαν ἐπανατειναμένου αὐτῷ, τὴν κεφαλὴν ὑποσχών, Παῖε, εἶπεν· οὐ γὰρ εὑρήσεις οὕτω ξηρὸν ξύλον ᾧ με ἀπείρξεις ἕως ἄν τι φαίνῃ λέγων. » Τοὐντεῦθεν διήκουσεν αὐτοῦ, καί, ἅτε φυγὰς ὤν, ὥρμησεν ἐπὶ τὸν εὐτελῆ βίον

Μῦν θεασάμενος διατρέχοντα...

'Επιστείλας δέ τινι οἰκίδιον αὐτῷ προνοήσασθαι, βραδύνοντος, τὸν ἐν τῷ Μητρῴῳ πίθον ἔσχεν οἰκίαν Καὶ θέρους μὲν ἐπὶ ψάμμου ζεστῆς ἐκυλινδεῖτο, χειμῶνος δ' ἀνδριάντας κεχιονισμένους περιελάμβανε.

VI. 2.20. Διογένης 'Ικεσίου τραπεζίτου Σινωπεύς. φησὶ δὲ Διοκλῆς δημοσίαν αὐτοῦ τὴν τράπεζαν ἔχοντος τοῦ πατρὸς καὶ παραχαράξαντος τὸ νόμισμα, φυγεῖν.

VI. 2.21. Γενόμενος δὲ 'Αθήνησιν 'Αντισθένει παρέβαλε. τοῦ δὲ διωθουμένου διὰ τὸ μηδένα προςίεσθαι, ἐξεβιάζετο τῇ προςεδρίᾳ. καί ποτε τὴν βακτηρίαν ἐπανατειναμένου αὐτῷ τὴν κεφαλὴν ὑποσχών, « παῖε, εἶπεν· οὐ γὰρ εὑρήσεις οὕτω σκληρὸν ξύλον ᾧ με ἀπείρξεις ἕως ἄν τι φαίνῃ λέγων. » τοὐντεῦθεν διήκουσεν αὐτοῦ καὶ ἅτε φυγὰς ὢν ὥρμησεν ἐπὶ τὸν εὐτελῆ βίον.

VI. 2. 22. Μῦν θεασάμενος διατρέχοντα.....

VI. 2. 23. ἐπιστείλας δέ τινι οἰκίδιον αὐτῷ προνοήσασθαι, βραδύνοντος, τὸν ἐν τῷ Μητρῴῳ πίθον ἔσχεν οἰκίαν, ὡς καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς διασαφεῖ. καὶ θέρους μὲν ἐπὶ ψάμμου ζεστῆς ἐκυλινδεῖτο, χειμῶνος δ' ἀνδριάντας κεχιονισμένους περιελάμβανε, πανταχόθεν ἑαυτὸν συνασκῶν.

1. Διογένης — αὐτοῦ ΔΠ: Διογένης — φυγεῖν Ε 7. καὶ γενόμενος ΔΠ: γενόμενος δὲ Ε 14. ξηρὸν ΔΠ: σκληρὸν Ε 19. Οὐδὲν κενὸν ἐν τοῖς κώδιξι ΔΠ πρὸς ἔνδειξιν ἀποκοπῆς τῆς συνεχείας τοῦ ἀπανθίσματος τούτου. 21. οἰκίδιον ΠΕ: οἰκιδίου Δ 22. βραδύνοντος Ε: βραδύνοντι Δ: καὶ βραδύνοντι Π 23. πίθον Ε: πίθῳ ΔΠ 24. οἰκίαν ΔΠ: οἰκίαν — διασαφεῖ Ε 26. δ' ΠΕ: δὲ Δ 27. περιελάμβανε ΔΠ: περιελάμβανε — συνασκῶν Ε

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Π. ΠΕΤΣΙΟΣ
Ε.Ν. ΛΑΕΡΤΙΟΥ ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Δεινός τε ἦν κατασοβαρεύεσθαι τῶν ἄλλων. Καὶ τὴν μὲν Εὐκλείδου σχολὴν ἔλεγε χολήν, τὴν δὲ Πλάτωνος διατριβὴν κατατριβήν. καὶ τοὺς δημαγωγοὺς ὄχλου διακόνους. Ἔλεγε δὲ συνεχῶς δεῖν εἰς τὸν βίον ἢ λόγον παρεσκευάσθαι ἢ βρόχον.

VI, 2, 24. Δεινός τ' ἦν κατασοβαρεύσασθαι τῶν ἄλλων. καὶ τὴν μὲν Εὐκλείδου σχολὴν ἔλεγε χολήν, τὴν δὲ Πλάτωνος διατριβὴν κατατριβήν, τοὺς δὲ Διονυσιακοὺς ἀγῶνας μεγάλα θαύματα μωροῖς ἔλεγε καὶ τοὺς δημαγωγοὺς ὄχλου διακόνους... συνεχές τε ἔλεγεν εἰς τὸν βίον παρεσκευάσθαι δεῖν λόγον ἢ βρόχον.

Οὗτος, Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ὀψώμενον, Τί, φησίν, ὁ σοφός, εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπολαύεις; Καὶ ὃς Νὴ τοὺς θεούς, φησι, Διόγενες, κἀκεῖ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγιγνόμην. Ὁ δὲ Τί οὖν πλεῖν, εἶπεν, εἰς Συρακούσας ἔδει; ἢ τότε Ἀττικὴ οὐκ ἔφερεν ἐλάας;

VI, 2,25. καί ποτε Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ἁψάμενον» «τί, φησίν, ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπολαύεις;» καὶ ὅς, ἀλλὰ νὴ τοὺς θεούς, φησί, Διόγενες κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγινόμην.» ὁ δέ, «τί οὖν ἔδει πλεῖν εἰς Συρακούσας; ἢ τότε ἡ Ἀττικὴ οὐκ ἔφερεν ἐλάας;»

Πατῶν αὐτοῦ ποτε τὰ στρώματα, ἔφη· Πατῶ τὴν Πλάτωνος κενοσπουδίαν. Πρὸς ὃν ὁ Πλάτων· Ὅσον, ὦ Διόγενες, τοῦ τύφου

VI, 2,26. πατῶν αὐτοῦ ποτε τὰ στρώματα κεκληκότος φίλους παρὰ Διονυσίου, «ἔφη· πατῶ τὴν Πλάτωνος κενοσπουδίαν·»

1. τε ΔΠ: τ' Ε κατασοβαρεύεσθαι ΔΠ: κατασοβαρεύσασθαι Ε 3. δὲ ΠΕ: δὲ τοῦ Δ 4. κατατριβὴν ΔΠ: κατατριβὴν — ἔλεγε Ε 6. ἔλεγε δὲ συνεχῶς δεῖν ΔΠ: συνεχές τε ἔλεγεν Ε 7. ἢ λόγον παρεσκευάσθαι ΔΠ: παρεσκευάσθαι δεῖν λόγον Ε 11. οὗτος Δ: καί ποτε Ε: λείπει Π δείπνῳ ΔΕ: συμποσίῳ Π 11-12. ὀψώμενον Δ: ὀψόμενον Π: ἁψάμενον Ε 16. νὴ ΔΠ: ἀλλὰ νὴ Ε 17. φησι ΔΠ: φησί Ε πρὸς ΔΠ: τὰ πολλὰ πρὸς Ε 18. ἐγινομην Ε: ἐγιγνόμην ΔΠ 19. πλεῖν εἶπεν ΔΠ: ἔδει πλεῖν Ε εἰς ΔΕ: ἐς Π 20. ἔδει ΔΠ: λείπει Ε τότε ΔΠ: τότε ἡ Ε 23. πατῶν αὐτοῦ ποτε Ε: πατῶν αὐτοῦ ποτὲ Π: αὖθις δ' αὐτοῦ πατῶν Δ 23-24. στρώματα ΔΠ: στρώματα—Διονυσίου Ε

ΙΩΑΝΝΙΝΑ 2006

διαφαίνεις, δοκῶν μὴ τετυφῶσθαι. Οἱ δέ φασι τὸν Διογένην εἰπεῖν Πατῶ τὸν Πλάτωνος τῦφον· τὸν δὲ φάναι Ἑτέρῳ γε τύφῳ, Διόγενες. Καί ποτε ἤτησεν αὐτὸν δέκα ἰσχάδας. Ὁ δὲ κεράμιον ὅλον ἔπεμψεν αὐτῷ, ὁ δεξάμενος, Σύ, φησιν, κἂν ἐρωτηθῇς δύο καὶ δύο πόσα εἰσίν, Εἴκοσιν ἀποκρινῇ; Οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ.

πρὸς ὃν ὁ Πλάτων, «ὅσον, ὦ Διόγενες, τοῦ τύφου διαφαίνεις, δοκῶν μὴ τετυφῶσθαι. οἱ δέ φασι τὸν Διογένην εἰπεῖν, «πατῶ τὸν Πλάτωνος τῦφον·» τὸν δὲ φάναι, «ἑτέρῳ γε τύφῳ, Διόγενες.» .... Διογένης οἶνόν ποτ' ᾔτησεν αὐτόν, τοτὲ δὲ καὶ ἰσχάδας. ὁ δὲ κεράμιον ὅλον ἔπεμψεν αὐτῷ· καὶ ὅς, «σύ, φησίν, ἐὰν ἐρωτηθῇς δύο καὶ δύο πόσα ἐστίν, Εἴκοσιν ἀποκρινῇ; οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως οὔτε πρὸς τὰ ἐρωτώμεν' ἀποκρίνῃ.»

Τοὺς γραμματικοὺς ἐθαύμαζε τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας. Τοὺς μουσικοὺς ἔλεγε τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δ' ἔχειν τῆς ψυχῆς τὰ ἤθη· τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δ' ἐν ποσὶ πράγματα παρορᾶν· τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ μηδαμῶς· ἀλλὰ μὴν καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ

VI, 2,27. τούς τε γραμματικοὺς ἐθαύμαζε τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δ' ἴδια ἀγνοοῦντας. καὶ μὴν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δ' ἔχειν τῆς ψυχῆς τὰ ἤθη· (28) τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δ' ἐν ποσὶ πράγματα παρορᾶν· τοὺς ῥήτορας λέγειν μὲν ἐσπουδακέναι τὰ δίκαια, πράττειν δὲ μηδαμῶς·

2. φασι E: φασὶ ΔΠ 3. τῦφον E: τύφον ΔΠ 5-6. καί ποτε — ἰσχάδας ΔΠ: Διογένης — ἰσχάδας E 5. ἤτησεν αὐτὸν ΠΕ: αὐτὸν ἤτησε Δ 6. δέκα ΔΠ: τοτὲ δὲ καὶ E 7. ὁ δεξάμενος ΔΠ: καὶ ὅς E 8. φησιν Π: φησι Δ φησίν E κἂν Δ: ἂν Π: ἐὰν E 9. εἰσὶν ΔΠ: ἐστίν E ἀποκρινῇ E: ἀποκρινεῖ ΔΠ 15. τοὺς ΔΠ: τούς τε E 17. δὲ ΔΠ: δ' E 18. τοὺς ΔΠ: καὶ μὴν καὶ τοὺς E ἔλεγε Δ: λείπει ΠΕ 18-19. ἐν τῇ λύρᾳ ΠΕ: λείπουσι Δ 20. δ' ΠΕ: δὲ Δ 24-25. τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν ΔΠ: λέγειν μὲν ἐσπουδακέναι τὰ δίκαια E 27. μὲν ΠΕ: λείπει Δ

ἀργύριον, ὑπεραγαπᾶν δέ. Κατεγίνωσκε δὲ καὶ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπάνω εἶεν, ζηλούντων δὲ τοὺς πολυχρημάτους καὶ τῶν θυόντων μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ἐν αὐτῇ δὲ τῇ θυσίᾳ κατὰ τῆς ὑγιείας δειπνούντων.

ἀλλὰ μὴν καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ. κατεγίνωσκε δὲ καὶ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπάνω εἶεν, ζηλούντων δὲ τοὺς πολυχρημάτους. ἐκίνει δ' αὐτὸν καὶ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ἐν αὐτῇ δὲ τῇ θυσίᾳ κατὰ τῆς ὑγιείας δειπνεῖν.

Διογένης ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη τί οἶδε ποιεῖν, καὶ ἀπεκρίνατο· Ἀνδρῶν ἄρχειν· καὶ πρὸς τὸν κήρυκα Κήρυσσε, εἶπεν, εἴ τις θέλει δεσπότην ἑαυτῷ πρίασθαι. Κωλυθεὶς δὲ καθέζεσθαι, οὐδὲν ἔφη διαφέρειν· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως ἂν κέοιντο πιπράσκεσθαι. Θαυμάζειν τ' ἔφη, εἰ χύτραν καὶ λοπάδα ὠνούμενοι κομποῦμεν, ἄνθρωπον δέ, μόνῃ τῇ ὄψει ἀρκούμεθα.

VI, 2 29. φησὶ δὲ Μένιππος ἐν τῇ Διογένους Πράσει ὡς ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη τί οἶδε ποιεῖν. ἀπεκρίνατο «ἀνδρῶν ἄρχειν·» καὶ πρὸς τὸν κήρυκα, «κήρυσσε, ἔφη, εἴ τις ἐθέλει δεσπότην αὑτῷ πρίασθαι.» κωλυθεὶς καθίζεσθαι, «οὐδέν, ἔφη, διαφέρει· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως ἂν κέοιντο πιπράσκεσθαι. (30) θαυμάζειν τ' ἔφη εἰ χύτραν μὲν καὶ λοπάδα ὠνούμενοι κομποῦμεν· ἄνθρωπον δέ, μόνῃ τῇ ὄψει ἀρκούμεθα.

Τότε δείξας τινὰ Κορίνθιον εὐπάρυφον Ξενιάδην, ἔφη· Τούτῳ με πώλει· οὗτος δεσπότου χρῄζει.

VI, 2,74. ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν προειρημένον Ξενιάδην, ἔφη, «τούτῳ με πώλει· οὗτος δεσπότου χρῄζει.»

5. καὶ τῶν θυόντων ΔΠ: ἐκίνει - θύειν Ε 6 (καὶ 7). ὑγιείας Ε: ὑγείας ΔΠ 8. δειπνούντων Π: ποιούντων Δ: δειπνεῖν Ε
11. Διογένης ΔΠ: φησὶ - ὡς Ε 12. καὶ ΔΠ: λείπει Ε 13. ἀνδρῶν ΠΕ: ἀνθρώπων Δ 14. κήρυκα ΠΕ: κηρύσσοντα Δ εἶπεν Π: ἔφη Ε: λείπει Δ 15. θέλει Π: θέλοι Δ: ἐθέλει Ε ἑαυτῷ Π: αὐτῷ Δ: αὑτῷ Ε 16. δὲ ΔΠ: λείπει Ε καθέζεσθαι ΔΠ: καθίζεσθαι Ε 17. διαφέρειν Π: διαφέρει ΔΕ 18. κέοιντο ΠΕ: καίοιντο Δ 20 καὶ ΔΠ: μὲν καὶ Ε 21. μόνῃ ΠΕ: μόνοι Δ
24. τότε ΔΠ: ὅτε καὶ Ε 25. Ξενιάδην ἔγραψα: ξενάδην ΔΠ: τὸν προειρημένον ξενιάδην Ε

| | |
|---|---|
| Λέγεται μέντοι τοὺς γνωρίμους θέλειν λυτρώσασθαι αὐτόν, τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων. | VI. 2,75. φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι, τὸν δ' εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων. |
| Ἐν δὲ τῷ ἀποθνήσκειν αὐτὸν πυθομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψει, Ἐπὶ πρόσωπον, ἔφη. Τοῦ δ' ἐρομένου διὰ τί, Ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἀναστρέφεσθαι. Τοῦτο δ' εἰρήκει διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας. | VI. 2,31· ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψειεν, ἔφη, «ἐπὶ πρόσωπον» (32) τοῦ δ' ἐρομένου, «διὰ τί»; «ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἄνω στρέφεσθαι.» τοῦτο δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι. |
| Φωνήσας ποτὲ Ὦ ἄνθρωποι, καὶ συνελθόντων τινῶν, καθίκετο τῇ βακτηρίᾳ, εἰπὼν Ἀνθρώπους ἐκάλεσα καὶ οὐ καθάρματα. | VI, 2,32. φωνήσας ποτέ, «ἰὼ ἄνθρωποι», [καὶ] συνελθόντων, καθίκετο τῇ βακτηρίᾳ, εἰπών, «ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα,» ὥς φησιν Ἑκάτων ἐν τῷ πρώτῳ τῶν Χρειῶν. |
| Εἰσελθὼν ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον πληγὰς ἔλαβε· μετὰ δὲ, ἐγγράψας τὰ ὀνόματα τῶν τυψάντων ἐπὶ τοῦ μετώπου, περιῄει ἐξημμένος, ἕως αὐτοὺς | VI, 2,33. εἰσελθὼν ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον, καθά φησι Μητροκλῆς ἐν ταῖς Χρείαις, πληγὰς ἔλαβε· μετὰ δὲ ἐγγράψας τὰ ὀνόματα εἰς λεύκωμα τῶν |

1-2. λέγεται — αὐτὸν ΔΠ: φησὶ — θελῆσαι Ε  2. δὲ ΔΠ: δ' Ε  8-10. ἐν δὲ — ἔφη ΔΠ: ἔνθα — πρόσωπον Ε  10. θάψει ΔΠ: θάψειε Ε  11. δ' ΠΕ: δὲ Δ  11-12. μετ' ὀλίγον ΔΕ: μετολίγον Π  12. εἶπε ΔΕ: λείπει Π  κάτω ΔΕ: κάτω εἶπεν Π  12-13. ἀναστρέφεσθαι ΔΠ: ἄνω στρέφεσθαι Ε  13. δ' εἰρήκει ΔΠ: δὲ Ε  14. μακεδόνας ΔΠ: Μακεδόνας — γίνεσθαι Ε  18. ὦ ΔΠ: ἰὼ Ε  19. τινῶν ΔΠ: λείπει Ε  20. καὶ ΔΠ: λείπει Ε  καθάρματα ΔΠ: καθάρματα — Χρειῶν Ε  24. συμπόσιον ΔΠ: συμπόσιον — Χρείαις Ε  25. ἐγγράψας ΔΕ: ἐγράψατο Π  26. τῶν τυψάντων ἐπὶ τοῦ μετώπου ΔΠ: εἰς λεύκωμα τῶν πληξάντων Ε

ΙΩΑΝΝΙΝΑ 2006